# 0345-0407 - Iohannes Chrysostomus - De jejunio [3]

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.**
**On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.**
**Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 321 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] Δe jejunioὰ

[00002] Περὶ νηστείας.

62.757

[00003] Ὁ ἔχων προσευχὴν καὶ νηστείαν καὶ ἐλεημοσύνην, τότε ἐστὶ καταπλούσιος ἐν Χριστῷ, καὶ εὐσεβείας ἐργάτης.

[00004] Τί γὰρ ὄφελος, ἀδελφοὶ, νηστεύειν τῷ σώματι, καὶ φονεύειν τοῖς ἔργοις;

[00005] τί τὸ ὄφελος βρώματος ἀπέχεσθαι, καὶ πορνείᾳ μιαίνεσθαι;

[00006] κρέας οὐκ ἐσθίεις, ἀλλὰ κατατρώγεις τὰς σάρκας τοῦ ἀδελφοῦ σου.

[00007] Ποῖον κέρδος οἴνῳ μὴ εὐφραίνεσθαι, καὶ μεθύσκεσθαι χρήμασι;

[00008] τί ὄφελος ἄρτον μὴ ἐσθίειν, καὶ μεθύειν θυμῷ;

[00009] ποῖον κέρδος νηστείᾳ τήκεσθαι, καὶ λοιδορεῖν τὸν πλησίον;

[00010] τίς ἡ ὠφέλεια ἐγκρατεύεσθαι βρωμάτων, καὶ ἁρπάζειν τὰ ἀλλότρια;

[00011] τίς ἡ ἀνάγκη τὸ σῶμα ξηραίνειν, καὶ πεινῶντα μὴ τρέφειν;

[00012] τίς ἡ ὠφέλεια τὸ σῶμα συντρίβειν, καὶ χήρας μὴ ἐλεεῖν καὶ ὀρφανούς;

[00013] Ἐὰν βούλῃ νηστεύειν, μίσησον φιλαργυρίαν·

[00014] τὸ μέγα κακόν ἐστιν ἡ φιλαργυρία.

[00015] Νηστεύεις;

[00016] φύγε μοιχείαν, φύγε πορνείαν, φύγε καταλαλιὰν, ψεῦδος, λοιδορίαν, ἔχθραν, βλασφημίαν, καὶ πᾶσαν περιεργίαν.

[00017] Νηστεύεις;

[00018] φύγε πλεονεξίαν, ἁρπαγὴν, ἔριν, καὶ τὸν ψυχώλεθρον φθόνον.

[00019] Νηστεύεις;

[00020] φύγε γαστριμαργίαν, τὴν γεννήτριαν πάσης κακίας, τὴν χωρίζουσαν ἡμᾶς καὶ ἀπ' αὐτοῦ τοῦ Θεοῦ, καὶ κατάγουσαν ἡμᾶς ἕως τῶν ἀβύσσων τῆς ἀπωλείας.

[00021] Ἐὰν νηστεύῃς διὰ τὸν Θεὸν, φύγε πᾶν πρᾶγμα ὃ μισεῖ ὁ

[00022] [62.758] Θεὸς, καὶ δέχεταί σου τὴν μετάνοιαν, ὡς ἐλεήμων καὶ φιλάνθρωπος·

[00023] δράμωμεν, ἀδελφοὶ, πρὸς τὴν μετάνοιαν, δράμωμεν·

[00024] ἐδόθη ἡμῖν καιρὸς ἐξομολογήσεως καὶ πένθους καὶ στεναγμῶν, οὐχὶ δὲ ἀμελείας καὶ ῥᾳθυμίας.

[00025] Μετάνοια γάρ ἐστι πρόξενος βασιλείας οὐρανοῦ, καὶ εἴσοδος παραδείσου, καὶ τρυφῆς αἰωνίου ἀπόλαυσις.

[00026] Ἐὰν νηστεύῃς, ἀγαπητὲ, πένητα μὴ περιίδῃς, γυμνὸν περίβαλε, βλέπε τῆς χήρας τὰ δάκρυα, βλέπε ὀρφανοὺς στενάζοντας.

[00027] Ἐὰν ἔχῃς, ἐλέησον·

[00028] εἰ δὲ οὐκ ἔχεις, κἂν μὴ ἁρπάζῃς τὰ ἀλλότρια.

[00029] Νηστεύεις;

[00030] παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον·

[00031] ἀρκεῖ σοι πρὸς σωτηρίαν.

[00032] Ἐὰν νηστεύῃς, βλέπε μὴ δανείσῃς τὸ ἀργύριόν σου ἐπὶ τόκῳ.

[00033] Νηστεύεις;

[00034] ἐλέησον ὃν ἠδίκησας, μὴ φθονήσῃς ποτὲ ἀδελφὸν, μήτε πάλιν μισήσῃς τινά ποτε.

[00035] Νηστεύεις;

[00036] μὴ κενοδοξήσῃς.

[00037] Νηστεύεις;

[00038] φύγε πορνείαν, τὴν χωρίζουσαν ἡμᾶς ἀπὸ τοῦ Θεοῦ καὶ ἀπὸ τῶν ἁγίων, τὴν πρόξενον τοῦ αἰωνίου καὶ ἀσβέστου πυρός.

[00039] Νηστεύεις;

[00040] θρέψον πεινῶντας, πότισον διψῶντας, ἀσθενοῦντας ἐπίσκεψαι, τῶν ἐν φυλακῇ μὴ ἐπιλάθου, καταπονουμένους ἐλέησον, θλιβομένων καὶ ὀδυρομένων ἐπιμελήθητι·

[00041] γενοῦ εὔσπλαγχνος, πρᾶος, ἀγαθὸς, ἥμερος, μακρόθυμος, ἐλεήμων, ἀμνησίκακος, εὐλαβὴς, ἄμαχος, [62.759] ἀληθινὸς, θεοσεβής·

[00042] ἵνα ὁ Θεὸς καὶ τὴν νηστείαν σου ἀποδέξηται, καὶ τῆς μετανοίας τὸ κέρδος μετὰ πολλῆς τῆς προσθήκης παράσχῃ σοι.

[00043] Ἐὰν νηστεύῃς, ἀγαπητὲ, οὕτω νήστευσον ὡς ὁ Χριστὸς ἐκέλευσεν, ἵνα μὴ καὶ τὸν κόπον ὑπομένῃς, καὶ τὸν μισθὸν ἀπολέσῃς.

[00044] Ταῦτα παρακαλῶ, ἀδελφοὶ, ἵνα ἀσφαλῶς τηρήσωμεν, καὶ μισθὸν κομισώμεθα παρὰ τῷ Θεῷ, καὶ ἀκούσωμεν τῆς μακαρίας ἐκείνης φωνῆς τῆς λεγούσης, Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου·

[00045] κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.

[00046] Οὐδὲν γὰρ, ἀδελφοὶ, δύναται βοηθῆσαι ἡμῖν ἐν ἐκείνῃ τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, καὶ τῆς φωνῆς ταύτης προξενούσης, ὡς μετάνοια καὶ ἐλεημοσύνη.

[00047] Ὡς πασῶν τροφῶν ὁ ἄρτος ἀναγκαιότερος, οὕτω πασῶν ἐργασιῶν ἡ τοῦ θανάτου ἔννοια.

[00048] Πυρὸς αἰωνίου μνήμη καθ' ἑσπέραν συγκοιμηθήτω σοι, καὶ συναναστήτω σοι, καὶ οὐ μή σου ῥᾳθυμία ἐν καιρῷ

[00049] Επιτρέπετα

[00050] ψαλμῳδίας κυριεύῃ ποτέ.

[00051] Ὡς φωτὸς φανέντος, ὑποχωρεῖ τὸ σκότος, οὕτω καὶ ἀπὸ ταπεινώσεως πᾶσα πικρία καὶ θυμὸς ἐξαφανίζεται.

[00052] Δεθήτω λοιπὸν θυμὸς, ὡς τύραννος, ἐν δεσμοῖς πραότητος·

[00053] μηδέποτε καταδέξῃ τὸν πρὸς σὲ τὸν πλησίον καταλαλοῦντα, μᾶλλον δὲ λέγε πρὸς αὐτὸν, Παῦσαι, ἀδελφὲ, ἐγὼ καθ' ἡμέραν ἐν χαλεπωτέροις πταίσμασι πταίω, καὶ πῶς ἐκεῖνον κατακρῖναι δυνάμεθα;

[00054] Ψεῦδός ἐστιν ἀγάπης ἀφανισμὸς, ἐπιορκία δὲ [62.760] Θεοῦ ἄρνησις·

[00055] φόβον Θεοῦ κτησάμενος ἐδίωξε ψεῦδος, δικαστὴν ἔχων τὴν ἰδίαν συνείδησιν.

[00056] Λέοντα ὁ κολακεύσας πολλάκις ἡμέρωσεν.

[00057] Ὁ τὴν ἑαυτοῦ θεραπεύων γαστέρα, καὶ πνεῦμα πορνείας νικῆσαι βουλόμενος, ὅμοιός ἐστιν ὁ μετὰ ἐλαίου σβεννύων τινὰ ἐμπρησμόν.

[00058] Νευροῦται γλῶσσα ὑπὸ πλήθους ἐδεσμάτων.

[00059] Ἀνάθου Κυρίῳ τὴν τῆς φύσεως ἀσθένειαν, γινώσκων εἰς ἅπαν τὴν ἰδίαν ἀδυναμίαν.

[00060] Μὴ εὔχου ἐν σεσοφισμένοις ῥήμασιν, ἀλλ' ἐξ ὅλης ψυχῆς, καὶ ταπεινώσεως καρδίας·

[00061] πρὸ πάντων δὲ λέγε, Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι.

[00062] Ἡμῖν πίστις ἀκλινὴς καὶ ἀγάπη Θεοῦ περικόπτει φροντίδας·

[00063] θανάτου δὲ μνήμη ἀπαρνεῖται καὶ σῶμα.

[00064] Διὰ μικροῦ τινος πυρὸς πολλὴν ὕλην κατέκαυσαν, καὶ διὰ μιᾶς ἀρετῆς ὅλα τὰ πάθη ἔφυγον.

[00065] Ὁ Θεῷ παρίστασθαι λογιζόμενος ἐν αἰσθήσει καρδίας, ἐν προσευχῇ γενοῦ στῦλος ἀκλόνητος, ὑπ' οὐδενὸς τῶν βιωτικῶν φροντίδων ἐμποδιζόμενος.

[00066] Εἴ τις ἁγνὸν σῶμα βούλεται παραστῆσαι τῷ Χριστῷ, καὶ καρδίαν καθαρὰν ἐπιδείξασθαι αὐτῷ, τηρησάτω ἀοργησίαν καὶ ἐγκράτειαν.

[00067] Τούτων γὰρ χωρὶς ἢ σῶμα ἢ νοῦν καθαρὸν παραστῆσαι τῷ Θεῷ βουλόμενος, καὶ φροντίσι τοῦ βίου δονούμενος, ὅμοιός ἐστι τῷ τοὺς ἑαυτοῦ πόδας ἰσχυρῶς δήσαντι, καὶ ὀξέως περιπατεῖν δοκιμάζοντι ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ.

[00068] Ἀμήν.

[00069] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - De jejunio [3]**
**Litterarum Omnium Conspectus: 99 Litterae, quae repetitae sunt in 3,823 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 299 | Α | 0913 | 0 |
| β | 0946 | 27 | Β | 0914 | 0 |
| γ | 0947 | 56 | Γ | 0915 | 0 |
| δ | 0948 | 64 | Δ | 0916 | 1 |
| ε | 0949 | 225 | Ε | 0917 | 3 |
| ζ | 0950 | 9 | Ζ | 0918 | 0 |
| η | 0951 | 74 | Η | 0919 | 0 |
| θ | 0952 | 54 | Θ | 0920 | 11 |
| ι | 0953 | 158 | Ι | 0921 | 0 |
| κ | 0954 | 131 | Κ | 0922 | 3 |
| λ | 0955 | 103 | Λ | 0923 | 1 |
| μ | 0956 | 124 | Μ | 0924 | 2 |
| ν | 0957 | 310 | Ν | 0925 | 9 |
| ξ | 0958 | 14 | Ξ | 0926 | 0 |
| ο | 0959 | 223 | Ο | 0927 | 1 |
| π | 0960 | 118 | Π | 0928 | 5 |
| ϱ | 0961 | 146 | Ρ | 0929 | 0 |
| ς | 0962 | 176 | • | 0930 | 0 |
| σ | 0963 | 184 | Σ | 0931 | 0 |
| τ | 0964 | 228 | Τ | 0932 | 3 |
| υ | 0965 | 68 | ϒ | 0933 | 0 |
| φ | 0966 | 48 | Φ | 0934 | 0 |
| χ | 0967 | 27 | Χ | 0935 | 4 |

| | | | | | |
|---|---|---|---|---|---|
| ψ | 0968 | 8 | Ψ | 0936 | 1 |
| ω | 0969 | 53 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 0 | | | 0 |
| ῥ | 8165 | 3 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 37 | έ | 8051 | 49 | ή | 8053 | 30 | ί | 8055 | 85 | ό | 8057 | 34 | ύ | 8059 | 47 | ώ | 8061 | 8 |
| ὰ | 8048 | 24 | ὲ | 8050 | 12 | ὴ | 80852 | 32 | ὶ | 8054 | 58 | ὸ | 8056 | 47 | ὺ | 8058 | 2 | ὼ | 8060 | 1 |
| ᾶ | 8118 | 10 | | | 0 | ῆ | 8134 | 21 | ῖ | 8150 | 17 | | | 0 | ῦ | 8166 | 36 | ῶ | 8182 | 24 |
| ἀ | 7936 | 48 | ἐ | 7952 | 50 | ἠ | 7968 | 1 | ἰ | 7984 | 10 | ὀ | 8000 | 4 | ὐ | 8016 | 14 | ὠ | 8032 | 2 |
| ἁ | 7937 | 5 | ἑ | 7953 | 3 | ἡ | 7969 | 14 | ἱ | 7985 | 1 | ὁ | 8001 | 6 | ὑ | 8017 | 5 | ὡ | 8033 | 4 |
| ἂ | 7938 | 1 | ἒ | 7954 | 0 | ἢ | 7970 | 2 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 2 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 4 | ἔ | 7956 | 9 | ἤ | 7972 | 0 | ἴ | 7988 | 3 | ὄ | 8004 | 3 | ὔ | 8020 | 2 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 1 | ἥ | 7973 | 1 | ἵ | 7989 | 3 | ὅ | 8005 | 5 | ὕ | 8021 | 4 | ὥ | 8037 | 0 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 0 | ἶ | 7990 | 0 | | | 0 | ὖ | 8022 | 0 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 0 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 5 | | | 0 | ῃ | 8131 | 18 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 5 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 3 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 15 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0345-0407 - Iohannes Chrysostomus - De jejunio [3]**

**Verborum Omnium Conspectus: 435Verba, quae repetita sunt in 1,171,412 occasionibus**

**ἀβύσσων** [00020]
**ἀγαθὸς** [00041]
**ἀγάπη** [00062]
**ἀγάπης** [00054]
**ἀγαπητὲ** [00026] [00043]
**ἁγίων** [00038]
**ἁγνὸν** [00066]
**ἀδελφὲ** [00053]
**ἀδελφοὶ** [00004] [00023] [00044] [00046]
**ἀδελφὸν** [00034]
**ἀδελφοῦ** [00006]
**ἀδυναμίαν** [00059]
**αἰσθήσει** [00065]
**αἰωνίου** [00025] [00038] [00048]
**ἀκλινὴς** [00062]
**ἀκλόνητος** [00065]
**ἀκούσωμεν** [00044]
**ἀληθινὸς** [00041]
**ἀλλ** [00060]
**ἀλλὰ** [00006]
**ἀλλότρια** [00010] [00028]
**ἄμαχος** [00041]
**ἀμελείας** [00024]
**Ἀμήν** [00068]
**ἀμνησίκακος** [00041]
**ἀναγκαιότερος** [00047]
**ἀνάγκη** [00011]
**Ἀνάθου** [00059]
**ἀοργησίαν** [00066]
**ἀπ** [00020]
**ἅπαν** [00059]
**ἀπαρνεῖται** [00063]
**ἀπέχεσθαι** [00005]
**ἀποδέξηται** [00042]
**ἀπόλαυσις** [00025]
**ἀπολέσῃς** [00043]
**ἀπωλείας** [00020]
**ἀργύριόν** [00032]
**ἀρετῆς** [00064]
**ἀρκεῖ** [00031]
**ἄρνησις** [00054]
**ἁρπαγὴν** [00018]
**ἁρπάζειν** [00010]
**ἁρπάζῃς** [00028]
**ἄρτον** [00008]
**ἄρτος** [00047]
**ἀσβέστου** [00038]
**ἀσθένειαν** [00059]
**ἀσθενής** [00061]
**ἀσθενοῦντας** [00040]
**ἀσφαλῶς** [00044]
**αὐτὸν** [00053]
**αὐτοῦ** [00020]
**αὐτῷ** [00066]
**ἀφανισμὸς** [00054]

**βασιλείαν** [00045]
**βασιλείας** [00025]
**βίου** [00067]
**βιωτικῶν** [00065]
**βλασφημίαν** [00016]
**βλέπε** [00026] [00026] [00032]
**βοηθῆσαι** [00046]
**βούλεται** [00066]
**βούλῃ** [00013]
**βουλόμενος** [00057] [00067]
**βρώματος** [00005]
**βρωμάτων** [00010]

**γὰρ** [00004] [00046] [00067]
**γάρ** [00025]
**γαστέρα** [00057]
**γαστριμαργίαν** [00020]
**γεννήτριαν** [00020]
**γενοῦ** [00041] [00065]
**γινώσκων** [00059]
**γλῶσσα** [00058]
**γλῶσσάν** [00030]
**γυμνὸν** [00026]

**δάκρυα** [00026]
**δανείσῃς** [00032]
**δὲ** [00024] [00028] [00053] [00054] [00061] [00063]
**Δεθήτω** [00052]
**δεσμοῖς** [00052]
**Δεῦτε** [00044]
**δέχεταί** [00022]
**δήσαντι** [00067]
**Διὰ** [00064]
**διὰ** [00021] [00064]
**δικαστὴν** [00055]
**διψῶντας** [00040]
**δοκιμάζοντι** [00067]
**δόλον** [00030]
**δονούμενος** [00067]
**δράμωμεν** [00023] [00023]
**δυνάμεθα** [00053]
**δύναται** [00046]
**Δe** [00001]

**Ἐὰν** [00013] [00021] [00026] [00027] [00032] [00043]
**ἑαυτοῦ** [00057] [00067]
**ἐγκράτειαν** [00066]
**ἐγκρατεύεσθαι** [00010]
**ἐγὼ** [00053]
**ἐδεσμάτων** [00058]
**ἐδίωξε** [00055]
**ἐδόθη** [00024]

**Εἴ** [00066]
**εἰ** [00028]
**εἰμι** [00061]
**εἰς** [00059]
**εἴσοδος** [00025]
**ἐκείνῃ** [00046]
**ἐκείνης** [00044]
**ἐκεῖνον** [00053]
**ἐκέλευσεν** [00043]
**ἐλαίου** [00057]
**ἐλεεῖν** [00012]
**ἐλεημοσύνη** [00046]
**ἐλεημοσύνην** [00003]
**ἐλεήμων** [00022] [00041]
**ἐλέησον** [00027] [00034] [00040]
**Ἐλέησόν** [00061]
**ἐμποδιζόμενος** [00065]
**ἐμπρησμόν** [00057]
**ἐν** [00003] [00040] [00046] [00048] [00052] [00053] [00060] [00065] [00065] [00067]
**ἔννοια** [00047]
**ἐξ** [00060]
**ἐξαφανίζεται** [00051]
**ἐξομολογήσεως** [00024]
**ἐπὶ** [00032]
**ἐπιδείξασθαι** [00066]
**ἐπιλάθου** [00040]
**ἐπιμελήθητι** [00040]
**ἐπιορκία** [00054]
**ἐπίσκεψαι** [00040]
**Επιτρέπετα** [00049] [00069]
**ἐργασιῶν** [00047]
**ἐργάτης** [00003]
**ἔργοις** [00004]
**ἔριν** [00018]
**ἐσθίειν** [00008]
**ἐσθίεις** [00006]
**ἑσπέραν** [00048]
**ἐστὶ** [00003]
**ἐστι** [00025] [00067]
**ἐστιν** [00014] [00054] [00057]
**εὐλαβὴς** [00041]
**εὐλογημένοι** [00044]
**εὐσεβείας** [00003]
**εὔσπλαγχνος** [00041]
**εὐφραίνεσθαι** [00007]
**εὔχου** [00060]
**ἔφυγον** [00064]
**ἔχεις** [00028]
**ἔχῃς** [00027]
**ἔχθραν** [00016]
**ἔχων** [00003] [00055]
**ἕως** [00020]

**ἥ** [00010] [00011] [00012] [00014] [00047]
**ἢ** [00067] [00067]
**ἠδίκησας** [00034]
**ἡμᾶς** [00020] [00020] [00038]
**ἡμέρᾳ** [00046]
**ἡμέραν** [00053]
**ἥμερος** [00041]
**ἡμέρωσεν** [00056]
**ἡμῖν** [00024] [00046]
**Ἡμῖν** [00062]
**ἡτοιμασμένην** [00045]

**θανάτου** [00047] [00063]
**Θεὸν** [00021]
**Θεὸς** [00022] [00042]
**θεοσεβής** [00041]
**Θεοῦ** [00020] [00038] [00054] [00055] [00062]
**θεραπεύων** [00057]
**Θεῷ** [00044] [00065] [00067]
**θλιβομένων** [00040]
**θρέψον** [00040]
**θυμὸς** [00051] [00052]
**θυμῷ** [00008]

**ἰδίαν** [00055] [00059]
**Ἰησοῦ** [00067]
**ἵνα** [00042] [00043] [00044]
**ἰσχυρῶς** [00067]

**καθ** [00048] [00053]
**καθαρὰν** [00066]
**καθαρὸν** [00067]
**καιρὸς** [00024]
**καιρῷ** [00048]
**κακίας** [00020]
**κακόν** [00014]
**κακοῦ** [00030]
**κἂν** [00028]
**καρδίαν** [00066]
**καρδίας** [00060] [00065]
**καταβολῆς** [00045]
**κατάγουσαν** [00020]
**καταδέξῃ** [00053]
**κατακρῖναι** [00053]
**καταλαλιὰν** [00016]
**καταλαλοῦντα** [00053]
**καταπλούσιος** [00003]
**καταπονουμένους** [00040]
**κατατρώγεις** [00006]
**κατέκαυσαν** [00064]
**κενοδοξήσῃς** [00036]
**κέρδος** [00007] [00009] [00042]
**κληρονομήσατε** [00045]
**κολακεύσας** [00056]
**κομισώμεθα** [00044]

**κόπον** [00043]
**κόσμου** [00045]
**κρέας** [00006]
**κρίσεως** [00046]
**κτησάμενος** [00055]
**Κύριε** [00061]
**κυριεύῃ** [00050]
**Κυρίῳ** [00059] [00067]

**λαλῆσαι** [00030]
**λέγε** [00053] [00061]
**λεγούσης** [00044]
**Λέοντα** [00056]
**λογιζόμενος** [00065]
**λοιδορεῖν** [00009]
**λοιδορίαν** [00016]
**λοιπὸν** [00052]

**μακαρίας** [00044]
**μακρόθυμος** [00041]
**μᾶλλον** [00053]
**με** [00061]
**μέγα** [00014]
**μεθύειν** [00008]
**μεθύσκεσθαι** [00007]
**Μετάνοια** [00025]
**μετάνοια** [00046]
**μετάνοιαν** [00022] [00023]
**μετανοίας** [00042]
**μηδέποτε** [00053]
**μήτε** [00034]
**μιαίνεσθαι** [00005]
**μιᾶς** [00064]
**μικροῦ** [00064]
**μισεῖ** [00021]
**μισήσῃς** [00034]
**μίσησον** [00013]
**μισθὸν** [00043] [00044]
**μνήμη** [00048] [00063]
**μοιχείαν** [00016]
**μου** [00044]

**Νευροῦται** [00058]
**νηστείᾳ** [00009]
**νηστείαν** [00003] [00042]
**νηστείας** [00002]
**νηστεύειν** [00004] [00013]
**Νηστεύεις** [00015] [00017] [00019] [00029] [00033] [00035] [00037] [00039]
**νηστεύῃς** [00021] [00026] [00032] [00043]
**νήστευσον** [00043]
**νικῆσαι** [00057]
**νοῦν** [00067]

**ξηραίνειν** [00011]

**ὁ** [00021] [00042] [00043] [00047] [00056] [00057]
**ὃ** [00021]
**Ὁ** [00003] [00057] [00065]
**ὀδυρομένων** [00040]
**οἱ** [00044]
**οἴνῳ** [00007]
**ὅλα** [00064]
**ὅλης** [00060]
**ὅμοιός** [00057] [00067]
**ὃν** [00034]
**ὀξέως** [00067]
**ὀρφανοὺς** [00026]
**ὀρφανούς** [00012]
**ὅτι** [00061]
**οὐ** [00048]
**Οὐδὲν** [00046]
**οὐδενὸς** [00065]
**οὐκ** [00006] [00028]
**οὐρανοῦ** [00025]
**οὕτω** [00043] [00047] [00051]
**οὐχὶ** [00024]
**ὄφελος** [00004] [00005] [00008]

**πάθη** [00064]
**πάλιν** [00034]
**πᾶν** [00021]
**πάντων** [00061]
**παρὰ** [00044]
**παραδείσου** [00025]
**παρακαλῶ** [00044]
**παραστῆσαι** [00066] [00067]
**παράσχῃ** [00042]
**παρίστασθαι** [00065]
**πᾶσα** [00051]
**πᾶσαν** [00016]
**πάσης** [00020]
**πασῶν** [00047] [00047]
**Πατρός** [00044]
**Παῦσαι** [00053]
**παῦσον** [00030]
**πεινῶντα** [00011]
**πεινῶντας** [00040]
**πένητα** [00026]
**πένθους** [00024]
**Περὶ** [00002]
**περίβαλε** [00026]
**περιεργίαν** [00016]
**περιίδῃς** [00026]
**περικόπτει** [00062]
**περιπατεῖν** [00067]

**πικρία** [00051]
**πίστις** [00062]
**πλεονεξίαν** [00018]
**πλήθους** [00058]
**πλησίον** [00009] [00053]
**πνεῦμα** [00057]
**πόδας** [00067]
**Ποῖον** [00007]
**ποῖον** [00009]
**πολλάκις** [00056]
**πολλὴν** [00064]
**πολλῆς** [00042]
**πορνείᾳ** [00005]
**πορνείαν** [00016] [00038]
**πορνείας** [00057]
**ποτὲ** [00034]
**ποτέ** [00050]
**ποτε** [00034]
**πότισον** [00040]
**πρᾶγμα** [00021]
**πρᾶος** [00041]
**πραότητος** [00052]
**πρὸ** [00061]
**πρόξενον** [00038]
**πρόξενος** [00025]
**προξενούσης** [00046]
**πρὸς** [00023] [00031] [00053] [00053]
**προσευχῇ** [00065]
**προσευχὴν** [00003]
**προσθήκης** [00042]
**πταίσμασι** [00053]
**πταίω** [00053]
**Πυρὸς** [00048]
**πυρὸς** [00064]
**πυρός** [00038]
**πῶς** [00053]

**ῥᾳθυμία** [00048]
**ῥᾳθυμίας** [00024]
**ῥήμασιν** [00060]

**σάρκας** [00006]
**σβεννύων** [00057]
**σὲ** [00053]
**σεσοφισμένοις** [00060]
**σκότος** [00051]
**σοι** [00031] [00042] [00048] [00048]
**σου** [00006] [00022] [00030] [00030] [00032] [00042] [00048]
**στεναγμῶν** [00024]
**στενάζοντας** [00026]
**στῦλος** [00065]
**συγκοιμηθήτω** [00048]
**συναναστήτω** [00048]
**συνείδησιν** [00055]
**συντρίβειν** [00012]
**σῶμα** [00011] [00012] [00063] [00066] [00067]
**σώματι** [00004]
**σωτηρίαν** [00031]

**τὰ** [00010] [00026] [00028] [00064]
**ταπεινώσεως** [00051] [00060]
**τὰς** [00006]
**Ταῦτα** [00044]
**ταύτης** [00046]
**τῇ** [00046]
**τήκεσθαι** [00009]
**τὴν** [00020] [00020] [00022] [00023] [00030] [00038] [00038] [00042] [00045] [00055] [00057] [00059] [00059]
**τηρησάτω** [00066]
**τηρήσωμεν** [00044]
**τῆς** [00020] [00026] [00042] [00042] [00044] [00044] [00046] [00046] [00059]
**Τί** [00004]
**τί** [00005] [00008]
**τινὰ** [00057]
**τινά** [00034]
**τινος** [00064]
**τίς** [00010] [00011] [00012]
**τις** [00066]
**τὸ** [00005] [00011] [00012] [00014] [00032] [00042] [00051]
**τοῖς** [00004]
**τόκῳ** [00032]
**τὸν** [00009] [00018] [00021] [00043] [00043] [00053] [00053]
**τότε** [00003]
**τοῦ** [00006] [00020] [00030] [00038] [00038] [00044] [00047] [00067]
**τοὺς** [00067]
**Τούτων** [00067]
**τρέφειν** [00011]
**τροφῶν** [00047]
**τρυφῆς** [00025]
**τύραννος** [00052]
**τῷ** [00004] [00044] [00066] [00067] [00067] [00067]
**τῶν** [00020] [00038] [00040] [00065]

**ὕλην** [00064]
**ὑμῖν** [00045]
**ὑπ** [00065]
**ὑπὸ** [00058]
**ὑπομένῃς** [00043]
**ὑποχωρεῖ** [00051]

**φανέντος** [00051]
**φθονήσῃς** [00034]
**φθόνον** [00018]
**φιλάνθρωπος** [00022]
**φιλαργυρία** [00014]
**φιλαργυρίαν** [00013]
**φοβερᾷ** [00046]
**φόβον** [00055]

**φονεύειν** [00004]
**φροντίδας** [00062]
**φροντίδων** [00065]
**φροντίσι** [00067]
**φύγε** [00016] [00016] [00016] [00018] [00020] [00021] [00038]
**φυλακῇ** [00040]
**φύσεως** [00059]
**φωνῆς** [00044] [00046]
**φωτὸς** [00051]

**χαλεπωτέροις** [00053]
**χείλη** [00030]
**χήρας** [00012] [00026]
**χρήμασι** [00007]
**Χριστὸς** [00043]
**Χριστῷ** [00003] [00066] [00067]
**χωρίζουσαν** [00020] [00038]
**χωρὶς** [00067]

**ψαλμῳδίας** [00050]
**Ψεῦδός** [00054]
**ψεῦδος** [00016] [00055]
**ψυχῆς** [00060]
**ψυχώλεθρον** [00018]

**ὥς** [00022] [00043] [00046] [00052]
**Ὡς** [00047] [00051]
**ὠφέλεια** [00010] [00012]